συνέκυρσ᾽ ἀδόκητος ἡδονά; πόθεν
ἐλάβομεν χαράν;
ΙΩΝ. ἐμοὶ γενέσθαι πάντα μᾶλλον ἄν ποτε,
μῆτερ, παρέστη τῶνδ᾽, ὅπως σός εἰμ᾽ ἐγώ.
ΚΡ. ἔτι φόβῳ τρέμω.
ΙΩΝ. μῶν οὐκ ἔχειν μ᾽ ἔχουσα; ΚΡ. τὰς γὰρ ἐλπίδας
ἀπέβαλον πρόσω.
ἰὼ γύναι, πόθεν πόθεν ἔλαβες ἐμὸν
βρέφος ἐς ἀγκάλας;
τίν᾽ ἀνὰ χέρα δόμους ἔβα Λοξίου;
ΙΩΝ. θεῖον τόδ᾽· ἀλλὰ τἀπίλοιπα τῆς τύχης
εὐδαιμονοῖμεν, ὡς τὰ πρόσθε δυστυχῆ.
ΚΡ. τέκνον, οὐκ ἀδάκρυτος ἐκλοχεύει,
γόοις δὲ ματρὸς ἐκ χερῶν ὁρίζει·
νῦν δὲ γενειάσιν παρὰ σέθεν πνέω
μακαριωτάτας τυχοῦσ᾽ ἡδονᾶς.
ΙΩΝ. τοὐμὸν λέγουσα καὶ τὸ σὸν κοινῶς λέγεις.
ΚΡ. ἄπαιδες οὐκέτ᾽ ἐσμὲν οὐδ᾽ ἄτεκνοι·
δῶμ᾽ ἑστιοῦται, γᾶ δ᾽ ἔχει τυράννους·
ἀνηβᾷ δ᾽ Ἐρεχθεύς,
ὅ τε γηγενέτας δόμος οὐκέτι νύκτα
δέρκεται, ἀελίου δ᾽ ἀναβλέπει λαμπάσιν.
ΙΩΝ. μῆτερ, παρών μοι καὶ πατὴρ μετασχέτω
τῆς ἡδονῆς τῆσδ᾽ ἧς ἔδωχ᾽ ὑμῖν ἐγώ.
ΚΡ. ὦ τέκνον, τί φής; οἷον οἷον ἀνελέγχομαι.
ΙΩΝ. πῶς εἶπας; ΚΡ. ἄλλοθεν γέγονας, ἄλλοθεν.
ΙΩΝ. ὤμοι· νόθον με παρθένευμ᾽ ἔτικτε σόν;
ΚΡ. οὐχ ὑπὸ λαμπάδων οὐδὲ χορευμάτων
ὑμέναιος ἐμός,
τέκνον, ἔτικτε σὸν κάρα.

---

1453. *ἔβαλες B* 1454. *ἐς ἀγκάλας B ἀγκάλαις C* 1455. *χέρα*] Hermannus, *χεῖρα* libri. 1464. *δῶμ᾽*] Hermannus, *δῶμα δ᾽* libri. *γᾶ δ᾽ ἔχει*] Reiskius, *τάδε δ᾽ ἔχει* libri. 1466. *νύκτα*] Marklandus, *νύκτας* libri. 1467. *ἀελίου*] Hermannus, *ἁλίου* libri. 1470 seqq. ΞΟΥ. *ὦ* — *ΙΩΝ. οἷον* — ΞΟΥ. *πῶς* — *ΙΩΝ. ὤμοι* — ΞΟΥ. *οὐχ* — *ΙΩΝ. αἶ αἶ* libri. correxit Tyrwhittus. 1471. *ἄλλοθεν γέγονας B ἄλλοθεν γὰρ γέγονας C*